‘οὐ γὰρ ἐπὶ πᾶσιν ἐφύτευσ’ ἀγαθοῖς
Ἀγαμέμνον’ Ἀτρεύς.’ —
‘αἰαῖ τόδ’ ἤδη θεῖον ἀνθρώποις κακόν,
ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή.’ (Eur. fr. 841)

θηριῶδες μὲν οὖν καὶ ἄλογον καὶ οἰκτρὸν εἰδότα τὸ βέλτιον ὑπὸ τοῦ χείρονος ἐξ ἀκρασίας καὶ μαλακίας ἄγεσθαι.

‘τρόπος ἔσθ’ ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος.’ (Men. fr. 472, 7)

F καὶ τρόπος μὲν οὖν καὶ λόγος ἢ τρόπος διὰ λόγου, καθάπερ ἱππεὺς διὰ χαλινοῦ καὶ ⟨διὰ⟩ πηδαλίου κυβερνήτης, οὐθὲν οὕτω φιλάνθρωπον οὐδὲ συγγενὲς ὄργανον ἐχούσης τῆς ἀρετῆς ὡς τὸν λόγον (Tr. adesp. 355, Com. adesp. 360) |

34 ‘πρὸς θῆλυ νεύει μᾶλλον ἢ ’πὶ τἄρρενα;’
‘ὅπου προσῇ τὸ κάλλος, ἀμφιδέξιος.’

ἦν δὲ βέλτιον εἰπεῖν ‘ὅπου προσῇ τὸ σῶφρον, ἀμφιδέξιος ὡς ἀληθῶς καὶ ἰσόρροπος’ ὁ δ’ ὑφ’ ἡδονῆς καὶ ὥρας δεῦρο κἀκεῖ μετοιακιζόμενος ἐπαρίστερος καὶ ἀβέβαιος.

‘φόβος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν.’ (Tr. adesp. 356)

καὶ μὴν οὐδαμῶς, ἀλλά ‘θάρσος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν’, φόβος δὲ τοῖς ἄφροσι καὶ ἀνοήτοις καὶ ἀχαρίστοις, ὅτι καὶ τὴν παντὸς αἰτίαν ἀγαθοῦ δύναμιν καὶ ἀρχὴν ὡς βλάπτου-
B σαν ὑφορῶνται καὶ δεδίασι. τὸ μὲν οὖν τῆς ἐπανορθώσεως γένος τοιοῦτόν ἐστι.

**13.** Τὴν δ’ ἐπὶ πλέον τῶν λεγομένων χρῆσιν ὑπέδειξεν ὀρθῶς ὁ Χρύσιππος, ὅτι δεῖ μετάγειν καὶ διαβιβάζειν ἐπὶ τὰ ὁμοειδῆ τὸ χρήσιμον. ὅ τε γὰρ Ἡσίοδος εἰπών (OD 348)

‘οὐδ’ ἂν βοῦς ἀπόλοιτ’, εἰ μὴ γείτων κακὸς εἴη’

καὶ περὶ κυνὸς ταὐτὸ καὶ περὶ ὄνου λέγει καὶ περὶ πάντων

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id412916606/74 UNIVERSITÄT LEIPZIG